Ὁ δ' αὐτὸν ὡς ὁρᾷ μεμακκοακότα,
Τέχνην πεποίηται. τοὺς γὰρ ἔνδον αὐτίκρυς
Ψευδῆ διαβάλλει. κᾆτα μαστιγούμεθα
Ἡμεῖς. Παφλαγὼν δὲ περιθέων τοὺς οἰκέτας,
Αἰτεῖ, ταράττει, δωροδοκεῖ, λέγων τάδε;
Ὁρᾶτε τὸν Ὕλαν δι' ἐμὲ μαστιγούμενον;
Εἰ μή μ' ἀναπείσετ', ἀποθανεῖσθε σήμερον.
Ἡμεῖς δὲ δίδομεν. εἰ δὲ μή, πατούμενοι
Ὑπὸ τοῦ γέροντος, ὀκταπλάσιον χέζομεν.
Νῦν οὖν ἀνύσαντες φροντίσωμεν, ὦ 'γαθέ,
Ποίαν ὁδὸν νῷ τρεπτέον, καὶ πρὸς τίνα.
Νι. Κράτιστ' ἐκείνην, τὴν μόλωμεν, ὦ 'γαθέ.
Δη. Ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν,
Ἐφορᾷ γὰρ αὐτὸς πάντ'. ἔχει γὰρ τὸ σκέλος,
Τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τῇ 'κκλησίᾳ.
Τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος,
Ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χάοσιν.
Τὼ χεῖρ' ἐν Αἰτωλοῖς. ὁ νοῦς δ' ἐν Κλωπιδῶν.
Νι. Κράτιστον οὖν νῷν ἀποθανεῖν. ἀλλὰ σκόπει,
Ὅπως ἂν ἀποθάνωμεν ἀνδρειότατα.
Δη. Πῶς δῆτα; πῶς γένοιτ' ἂν ἀνδρειότατα;
Νι. Βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν.
Ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.

A *Vbi ille illum insanientem conspicit,*
*Dolum inuenit: nam quotquot eramus in domo,*
*Falsò calumniatur. Ibi tum nos flagris*
*Afficimur: Paphlago circumcursitans petit*
*Seruos, exterret, munera captat, clamitat:*
*Videtin' Hylam flagris à me malè domitum?*
*Nisi me placaueritis, moriemini hodie.*
B *Nos verò illi damus: sin minus, ab improbo*
*Sene hoc pessundati, cacamus octuplum:*
*Nunc ergo, mi vir, dispiciamus celeriter,*
*Quánam via insistendum, & ad quémnam virum.*
NI. *Illam de fugiendo, quam dixeram.*
DE. *Sed vt Paphlagonem res lateat, fieri haud potest,*
C *Ipsus enim dispicit omnia. Nam pedem alterum*
*Habet in Pylo fixum, alterum tenet in foro.*
*Et cùm tam latis ingrediatur passibus:*
*Podex reapse illi est Hiantiæ, manus*
*Vtraque Petiliæ, mens in Clepidum tribu.*
NI. *Ergo optimum, vt moriamur: sed age, tu vide:*
*Vt, si moriendum est, moriamur fortissimè.*
D DE. *Dic: quomodo? quomodo hoc fiat fortissimè?*
NI. *Erit optimum bibere taurinum sanguinem.*
*Nam mors Themistoclis optatissima omnium.*

Σχόλια. Μεμακκοακότα.] τὰ μακκοῦς φρονοῦντα. ἀνοηταίνοντα. Μακκὼ γὰρ καὶ Λαμὼ ἐγένοντο ἀνεαί. τουτέστι βαρέως νοοῦσαι. παρὰ φρονοῦντα. ληροῦντα. γέγονε παρὰ τὸ μάταια κοεῖν, ὅ ἐστι νοεῖν, ὅθεν θυοσκόος, ἢ παρὰ τὸ θύω τὸ κοῶ. ὃ σημαίνει τὸ νοῶ. Αὐτίκρυς] προδήλως, ὁμολογουμένως, ηὔξησε δὲ τὴν ἀναίδειαν, διὰ τὸ φανερῶς καταψεύδεσθαι. ἄλλως. φανερῶς, δεῖγμα γὰρ τῆς ἀναισχυντίας τὸ φανερῶς ψεύδεσθαι. Δωροδοκεῖ.] δῶρα λαμβάνει καὶ διασείει. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τῶν διδόντων.

E BISETVS. Δωροδοκεῖ] παρὰ τὸ δῶρον δέχεσθαι. τὸ δὲ χ εἰς κ ἰωνικῶς ἐτράπη.

Σχόλια. Εἰ μή μ' ἀναπείσητε.] ἀντὶ τοῦ ἀναπείσετε χρήμασι. διαβάλλει δὲ αὐτὸν ὡς δωροδοκούμενον καὶ προδιδόντα τὴν πόλιν. ἄλλως. εἰ μὴ πιστὸν ποιήσετε. τουτέστιν εἰ μὴ μισθόν τινά μοι δῶτε. Ὀκταπλάσιον χέζομεν] F πολλῷ πλείονα. ἵνα ἡ τὸ νοούμενον, ὅτι μικροῖς λήμμασιν ἀποδίδονται τῆς πόλεως τὰ πράγματα, ἀφ' ὧν ὠφέλεια μείζων ἢ δυνατὸν γίνεσθαι τῇ πόλει. Κράτιστ' ἐκείνην.] ἄμεινον ἐπὶ τὸ αὐτομολήσωμεν. τουτέστι χωρῆσαι πρὸς τοὺς ἐναντίους.

BISETVS. Αὐτόχρημα.] Σ. πάνυ ἀληθῶς, ἀψευδῶς.

Σχόλια. Ἐν Χάοσι.] Θρᾴκης ἔθνος οἱ Χάονες. παρέλαβε δὲ τὸ ὄνομα ἵνα τὸ κεχηνέναι δηλώσῃ. Χάονες δὲ δῆμος τῶν Θεσπρωτῶν. ἢ βάρβαρον ἔθνος. ἄλλως. οἱ μὲν τῆς Ἠπείρου. G οἱ δὲ τῆς Θρᾴκης τοὺς Χάονας. ἅμα δὲ τοὺς εὐρυπρώκτους, διασύρει. διὰ τὸ χαίνειν τὸν πρωκτόν. Τὼ χεῖρ' ἐν Αἰτωλοῖς.] ἀπὸ τοῦ ὀνόματος τὸ πρᾶγμα λέγεται. οὐκ ἐν Αἰτωλίᾳ, ἀλλ' ἐν τῷ αἰτεῖν. τὸ δ' ἐν Κλωπιδῶν, ἐναλλαγὴ πάλιν στοιχείου, τοῦ ρ εἰς τὸ λ. Κρωπίδαι γὰρ δῆμος τῆς Λεοντίδος φυλῆς. ἔπαιξεν οὖν παρὰ τὸ κλέπτειν. Ὁ Θεμιστοκλέους.] Θεμιστοκλῆς ὁ καταναυμαχήσας ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τοὺς βαρβάρους, εἶθ' ὕστερον φυγαδευθεὶς ὑπὸ Ἀθηναίων ἐπὶ προδοσίας αἰτίᾳ ψευδεῖ, καταφυγὼν πρὸς Ἀρταξέρξην τὸν Ξέρξου παῖδα, καὶ τιμηθεὶς τὰ μέγιστα παρ' αὐτοῦ, ὡς καὶ τρεῖς πόλεις εἰς ὄψον καὶ ἄρτον λαβεῖν, Μαγνησίαν, Μυοῦντα, Λάμψακον, ἐπηγγείλατο αὐτῷ καταδουλώσασθαι τὴν Ἑλλάδα, δύναμιν εἰ λάβοι. παραγενόμενος δὲ ἅμα τῷ στρατηγῷ εἰς Μαγνησίαν, καὶ καταγνοὺς ἑαυτοῦ, εἰ οἱ δι' αὐτὸν σωθέντες Ἕλληνες, εἶτα δουλεύσουσι βαρβάροις, προφάσει χρησάμενος ὡς θυσίαν ἐπιτελέσαι βούλοιτο, καὶ ἱερουργῆσαι τῇ Λευκόφρυϊ Ἀρτέμιδι καλουμένῃ, ταύρῳ ὑποθεὶς τὴν φιάλην, καὶ ὑποδεξάμενος τὸ αἷμα, καὶ χανδὸν πιὼν ἐτελεύτησεν εὐθέως. οἱ δέ φασιν, ὅτι συνειδὼς ὁ Θεμιστοκλῆς ὅτι οὐχ οἷός τε ἦν διαπράξασθαι τῷ βασιλεῖ, ἅπερ ἐπηγγείλατο, οὕτως ἐπὶ τὴν τοῦ θανάτου αἵρεσιν παρεγένετο. τοῦτον γοῦν τὸν τρόπον, βέλτιον εἶναί φασι καὶ αὐτοὺς ἀποθανεῖν, κατὰ ζῆλον τοῦ Θεμιστοκλέους. διαβάλλει δὲ τοὺς Ἀθηναίους ὡς κακοὺς περὶ τοὺς εὐεργέτας. ἄλλως. μετὰ τὴν Ξέρξου φυγὴν Λακεδαιμόνιοι προδοσίας κρίνουσι καὶ φονεύουσι Παυσανίαν τὸν ἴδιον βασιλέα Κλεομβρότου καὶ Ἀλκαθέας υἱόν. εἰκότως δὲ διακείμενοι πρὸς Θεμιστοκλέα διὰ τὸν τειχισμὸν τῆς Ἀττικῆς, μεταστέλλονται αὐτὸν εἰς κρίσιν, φάσκοντες Παυσανίαν ὁμολογηκέναι καὶ αὐτὸν κοινωνεῖν ἐν τῇ προδοσίᾳ. Ἀθηναίων δὲ βουλομένων ἀποστέλλειν αὐτόν, φυγὼν ἧκε πρὸς Ἀρταξέρξην, καὶ Μηδικὴν φωνὴν μαθών, ἐδίδαξεν αὐτὸν πῶς ἔσωσε τὸν πατέρα Ξέρξην μὴ συγχωρήσας τοῖς Ἕλλησι διαλῦσαι τὰ ἐπὶ Σηστοῦ καὶ Ἀβύδου διαζεύγματα. ἐφ' οἷς εὐχαριστήσας ὁ βασιλεύς, δωρεῖται αὐτῷ τρεῖς πόλεις. Μαγνησίαν εἰς σῖτον, Λάμψακον εἰς οἶνον, Μυοῦντα εἰς ὄψα. ὡς δὲ Κλεάνθης, καὶ Περκώτην εἰς στρωμνήν, καὶ Παλαίσκηψιν, εἰς στολήν. στρατὸν δὲ λαβὼν

αὐτοῦ